40 θεοῦ Ισραηλ. 40 καὶ ἐκόμισεν Εσδρας ὁ ἀρχιερεὺς τὸν νόμον παντὶ
τῷ πλήθει ἀπὸ ἀνθρώπου ἕως γυναικὸς καὶ πᾶσιν τοῖς ἱερεῦσιν
41 ἀκοῦσαι τοῦ νόμου νουμηνίᾳ τοῦ ἑβδόμου μηνός· 41 καὶ ἀνεγίγνω-
σκεν ἐν τῷ πρὸ τοῦ ἱεροῦ πυλῶνος εὐρυχώρῳ ἀπὸ ὄρθρου ἕως
μεσημβρινοῦ ἐνώπιον ἀνδρῶν τε καὶ γυναικῶν, καὶ ἐπέδωκαν πᾶν τὸ
42 πλῆθος τὸν νοῦν εἰς τὸν νόμον. 42 καὶ ἔστη Εσδρας ὁ ἱερεὺς καὶ
ἀναγνώστης τοῦ νόμου ἐπὶ τοῦ ξυλίνου βήματος τοῦ κατασκευα-
43 σθέντος, 43 καὶ ἔστησαν παρ' αὐτῷ Ματταθιας, Σαμμους, Ανανιας,
44 Αζαριας, Ουριας, Εζεκιας, Βααλσαμος ἐκ δεξιῶν, 44 καὶ ἐξ εὐωνύμων
45 Φαδαιος, Μισαηλ, Μελχιας, Λωθασουβος, Ναβαριας, Ζαχαριας. 45 καὶ
ἀναλαβὼν Εσδρας τὸ βιβλίον τοῦ νόμου ἐνώπιον τοῦ πλήθους —
46 προεκάθητο γὰρ ἐπιδόξως ἐνώπιον πάντων — 46 καὶ ἐν τῷ λῦσαι
τὸν νόμον πάντες ὀρθοὶ ἔστησαν. καὶ εὐλόγησεν Εσδρας τῷ κυρίῳ
47 θεῷ ὑψίστῳ θεῷ σαβαωθ παντοκράτορι, 47 καὶ ἐπεφώνησεν πᾶν τὸ
πλῆθος Αμην, καὶ ἄραντες ἄνω τὰς χεῖρας προσπεσόντες ἐπὶ τὴν
48 γῆν προσεκύνησαν τῷ κυρίῳ. 48 Ἰησοῦς καὶ Αννιουθ καὶ Σαραβιας,
Ιαδινος, Ιακουβος, Σαββαταιος, Αυταιας, Μαιαννας καὶ Καλιτας, Αζα-
ριας καὶ Ιωζαβδος, Ανανιας, Φαλιας οἱ Λευῖται ἐδίδασκον τὸν νόμον
κυρίου καὶ πρὸς τὸ πλῆθος ἀνεγίνωσκον τὸν νόμον τοῦ κυρίου
49 ἐμφυσιοῦντες ἅμα τὴν ἀνάγνωσιν. — 49 καὶ εἶπεν Ατταρατης Εσδρα
τῷ ἀρχιερεῖ καὶ ἀναγνώστῃ καὶ τοῖς Λευίταις τοῖς διδάσκουσι τὸ
50 πλῆθος ἐπὶ πάντας 50 Ἡ ἡμέρα αὕτη ἐστὶν ἁγία τῷ κυρίῳ — καὶ
51 πάντες ἔκλαιον ἐν τῷ ἀκοῦσαι τοῦ νόμου —· 51 βαδίσαντες οὖν
φάγετε λιπάσματα καὶ πίετε γλυκάσματα καὶ ἀποστείλατε ἀποστο-
52 λὰς τοῖς μὴ ἔχουσιν, 52 ἁγία γὰρ ἡ ἡμέρα τῷ κυρίῳ· καὶ μὴ λυ-
53 πεῖσθε, ὁ γὰρ κύριος δοξάσει ὑμᾶς. 53 καὶ οἱ Λευῖται ἐκέλευον τῷ
54 δήμῳ παντὶ λέγοντες Ἡ ἡμέρα αὕτη ἁγία, μὴ λυπεῖσθε. 54 καὶ ᾤχον-
το πάντες φαγεῖν καὶ πιεῖν καὶ εὐφραίνεσθαι καὶ δοῦναι ἀποστολὰς

40 εκομισεν] εδοκιμασεν B† | αρχιερευς] αρχ > *L*†: cf. 39 | του νομου] τον νομον B†: cf. 50 || 41 ανεγιγνωσκεν A†] γ 2⁰ > rel. | ευρυχωρου B | απο B*L*†] εξ rel. | μεσημβρινου B*L*†] μεσου ημερας A | ανδρων τε] των ανδρ. B *L*† | παν το πληθος] παντα B || 43 εστησαν παρ] εστησεν B† | σαμμους] ς > B† | ανανιας] pr. και A*L*†: idem add. *L*† ante nomina sequentia || 44 φαδαιος Ra.] φαλδαιος A, φαλαδαιος B†, φαδαιας *L*†; cf. Par. I 3 18 || 45 του νομου ενωπ. του πληθους] του πληθους ενωπιον (sic) B† || 46 εσδρας (cf. 8 1)] αζαριας B† | κυριω θεω et σαβαωθ > B† | υψιστω] pr. τω A† || 47 επεφωνησεν] επ > B† | αμην] + αμην B† | κυριω] θεω B† || 48 αννιουθ B†] αννους A, βαναιας *L*† | ιακουβος] ιαρσουβοος B† | σαββαταιος pau.] αβτ. B†, -ταιας A | και ιωζαβδος] κατεθζαβδος B†; cf. 23 | ανανιας] αννιας B† | φαλιας B†] φιαθας A | και προς — κυριου B*L*†] > rel. || 49 ατταρατης Ra.] ς > B†, ατθαρ. A | αρχιερει] αρχ > *L*†: cf. 39 || 50 του νομου] τον νομον B*L*†: cf. 40 || 51 -ασματα 1⁰⌒2⁰ B† || 52 και > A | κυριος B*L*†] pr. θεος rel. || 53 τω δημω παντι B†] τα παντα τω δ. A, παντι τω δ. mu.